

ΑΚΟΛΟΥΘΙΑ

ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ

ΠΑΡΘΕΝΙΟΥ

ΕΠΙΣΚΟΠΟΥ ΡΑΔΟΒΥΖΙΩΝ ΑΡΤΗΣ

ΤΟΥ ΕΚ ΒΑΤΣΟΥΝΙΑΣ ΘΕΣΣΑΛΙΑΣ ΚΑΤΑΓΟΜΕΝΟΥ

ΠΟΙΗΘΕΙΣΑ ΕΝ ΑΓΙΩ ΟΡΕΙ
ΥΠΟ
ΓΕΡΑΣΙΜΟΥ ΜΟΝΑΧΟΥ ΜΙΚΡΑΓΙΑΝΝΑΝΙΤΟΥ
ΥΜΝΟΓΡΑΦΟΥ ΤΗΣ ΜΕΓΑΛΗΣ ΤΟΥ ΧΡΙΣΤΟΥ ΕΚΚΛΗΣΙΑΣ

ΕΚΔΙΔΟΤΑΙ ΠΡΟΝΟΙΑ
ΤΟΥ ΣΕΒΑΣΜΙΩΤΑΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΑΡΤΗΣ
ΙΓΝΑΤΙΟΥ
ΕΓΚΡΙΣΕΙ ΤΗΣ ΙΕΡΑΣ ΣΥΝΟΔΟΥ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

ΑΡΤΑ 1971

*Εἰκ. 13. Τὸ ἐξώφυλλο τῆς α΄ ἔκδοσης τῆς ἀκολουθίας τοῦ Ἁγ. Παρθενίου.*



Εἰκ. 14. Ἡ μεγάλη φορητή εἰκόνα τοῦ Ἁγίου Παρθενίου
σέ προσκυνητάρι (Βελεντζικό Ἄρτας)

# ΑΚΟΛΟΥΘΙΑ
## ΤΟΥ ΕΝ ΑΓΙΟΙΣ ΠΑΤΡΟΣ ΗΜΩΝ
# ΠΑΡΘΕΝΙΟΥ
## Ἐπισκόπου Ραδοβισδίου
## τοῦ θαυματουργοῦ

Ἐποιήθη ἐν Ἁγίῳ Ὄρει
ὑπὸ
**Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**
**Ὑμνογράφου τῆς Μεγάλης τοῦ Χριστοῦ Ἐκκλησίας**

Ἰουλίου κα΄

Μνήμην ἐπιτελοῦμεν τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν

# Παρθενίου

ἐπισκόπου Ραδοβισδίου

## Ἐν τῷ Μικρῷ Ἑσπερινῷ

Ἱστῶμεν στίχους δ΄.
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.

Ἦχος δ΄. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε ἀνετέθης τῷ Θεῷ, πάντων τῶν τοῦ κόσμου πραγμάτων, μακρύνας Ὅσιε, τότε ἐνθεώτατος, ὤφθης Παρθένιε, ἐργασίᾳ τοῦ κρείττονος, τῶν πάλαι Ἁγίων, βίον τὸν ἐνάρετον, Πάτερ μιμούμενος· ὅθεν χαρισμάτων τῶν θείων, ἱερὸν ἀνεδείχθης, καὶ στεφάνῳ δόξης κεκαλλώπισαι.

Ὅτε εὐδοκίᾳ θεϊκῇ, θεῖος Ἱεράρχης ἐδείχθης, τῆς Ἐκκλησίας Χριστοῦ, τότε τὴν λαχοῦσάν σοι, ποίμνην Παρθένιε,

πρακτικαῖς ὑποθήκαις σου, καὶ βίῳ ἀμέμπτῳ, Πάτερ καθωδήγησας, πρὸς ἀρετῶν τὴν ὁδόν· πᾶσι γὰρ παρέχεις τὴν χάριν, οὐ μόνον ἀνθρώποις πλουσίως, ἀλλὰ καὶ ἀλόγοις τε καὶ κτήνεσι.

Ὅτε ὥσπερ ἄνθη νοητά, τὰ σεπτά σου λείψανα Πάτερ, ἐκ τάφου ὤφθησαν, τότε τὴν τοῦ Πνεύματος, ὀσμὴν διέπνευσαν, ὑπὲρ μύρα πολύτιμα, καὶ τῆς εὐωδίας, ἅπαντας ἐπλήρωσαν, τῆς ἐν σοὶ χάριτος· ὅθεν ὡς τῶν πάλαι Ἁγίων, σύσκηνον ἐδόξασαν πάντες, καὶ Χριστοῦ θεράποντα σὲ ὕμνησαν.

Θεῖος ἀνεδείχθης ἰατήρ, Πάτερ νοσημάτων ποικίλων, Ἁγίῳ Πνεύματι· πάθη γὰρ δυσίατα, παύεις ἑκάστοτε, ἐξαιρέτως δὲ Ἅγιε, βοῶν καὶ προβάτων, θεραπεύεις ἅπαντα, τὰ ἀρρωστήματα· ὅθεν τὴν ἁγίαν σου Κάραν, ἔχοντες ὡς ἅγιον δῶρον, ταύτῃ καταφεύγομεν Παρθένιε.

**Δόξα. Ἦχος δ΄.**

Ἰχνηλατήσας Ὁσίων τὸν βίον, ὁσιότητα κατωρθώσας, ἐν ἀληθεῖ δικαιοσύνῃ και ταπεινώσεως πλούτῳ, Πάτερ θεόφρον Παρθένιε· καὶ τῶν ἐκ ταύτης τρυφήσας ἀγαθῶν, ἀρχιερεὺς ὅσιος καὶ ἄκακος, κατὰ Παῦλον ὤφθης, τῷ ἀδύτῳ φωτὶ τελεσθείς· ὡς υἱὸς γὰρ φωτὸς ἐπολιτεύσω, καὶ τῷ φωτὶ τῶν θείων προσταγμάτων κατευθύνεις, τοὺς εὐλαβῶς προστρέχοντας, τῇ πρὸς Θεὸν πρεσβείᾳ σου.

**Καὶ νῦν. Θεοτοκίον.**

**Ἐκ παντοίων κινδύνων....**

**Ἀπόστιχα.**

**Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.**

Ὅλος θεοειδής, ἐν τοῖς ὑστέροις χρόνοις, Παρθένιε ἐφάνης, μεγαλυνθεὶς θεόθεν, τῷ ἐναρέτῳ βίῳ σου.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου...**

Σκεῦος τῶν ἀρετῶν, καὶ τύπος καλῶν ἔργων, τῇ λογικῇ σου ποίμνῃ, Παρθένιε ἐδείχθης, ὡς Ἱεράρχης ὅσιος.

**Στίχ. Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται...**

Βρύει οἷα πηγή, ἰάματα ποικίλα, ἡ θεία Κεφαλή σου, καὶ τὰ τῶν βοσκημάτων, ἰᾶται ἀρρωστήματα.

**Δόξα. Τριαδικόν.**

Πάτερ σὺν τῷ Υἱῷ καὶ Πνεύματι τῷ θείῳ, ὁμόδοξε Θεότης, οἰκτείρησον τὸν κόσμον, λιταῖς τοῦ Ἱεράρχου σου.

**Καὶ νῦν. Θεοτοκίον.**

Σάρκα ἐκ τῶν ἁγνῶν, αἱμάτων σου ὁ Λόγος, δίχα τροπῆς φορέσας, διπλοῦς Παρθένε ὤφθη, καὶ τὸν Ἀδὰμ ἀνέπλασε.

**Νῦν ἀπολύεις. Τὸ Τρισάγιον.**
**Τὸ Ἀπολυτίκιον ἐκ τοῦ Μεγάλου Ἑσπερινοῦ καὶ Ἀπόλυσις.**



## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

**Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ.
Εἰς δὲ τὸ Κύριε ἐκέκραξα ἱστῶμεν στίχους στ΄.
καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια τοῦ Ἁγίου.**

**Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.**

Πάτερ Παρθένιε ζωήν, ἀγαπήσας ἔνθεον, τῶν ἐντολῶν τοῦ Θεοῦ ἡμῶν, ἐργάτης δόκιμος, ἀληθῶς ἐδείχθης, ἐν ὑστέροις ἔτεσι, καὶ θεῖος Ἱεράρχης γενόμενος, ψήφῳ τῇ κρείττονι, πρακτικώτατος ἐν ἅπασι, τῇ σῇ ποίμνῃ ὤφθης ὡς θεόληπτος.

Πάτερ Παρθένιε ψυχῆς, ἀνυψῶν τὴν ἔφεσιν, πρὸς τὰ ἀεὶ διαμένοντα, τὰ ἄνω Ὅσιε, ὁλικῶς ἐπόθεις, καὶ ἔσπευδες κτήσασθαι, τῶν κάτω ὡς φθαρτῶν ἀφιστάμενος· καὶ νῦν τοῦ πόθου σου, εἰληφὼς τὸ πέρας πρέσβευε, Ἱεράρχα, ὑπὲρ τῶν τιμώντων σε.

Πάτερ Παρθένιε τὴν σήν, Κάραν τὴν σεβάσμιον, ὁ σὸς λαὸς ὡς ἁγίασμα, καὶ θεῖον δώρημα, κεκτημένος ῥῶσιν,

ἐξ αὐτῆς καὶ ἔλεος, λαμβάνει τῇ δοθείσῃ σοι χάριτι· πᾶσι παρέχει γάρ, τοῖς αἰτοῦσι τὴν βοήθειαν, καὶ ἰᾶται, ἀλόγων νοσήματα.

**Προσόμοια ἕτερα.**
**Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος!**

Πάτερ ἱερὲ Παρθένιε, δικαιοσύνης ὁδόν, ἐκ παιδὸς πορευόμενος, καὶ Χριστοῦ τοῖς ἴχνεσι, θεοφρόνως ἑπόμενος, ἄκακος ὤφθης τοῖς τρόποις, Ὅσιε, εὐθὺς καὶ πρᾶος καὶ πλήρης χάριτος· ὅθεν ἱέρευσας, τῷ Θεῷ ὡς ἄγγελος, Ἱεραρχῶν, τὴν στολὴν τὴν ἔνθεον, ἀμφιασάμενος.

Πάτερ παμμάκαρ Παρθένιε, δι' ἐναρέτου ζωῆς, καὶ πολλῆς ταπεινώσεως, εἰς ὕψος ἀνέδραμες, ἀπαθείας θεόληπτε· ὅθεν ἐδέξω δύναμιν ἄνωθεν, πάθη ἰᾶσθαι ψυχῆς καὶ σώματος, καὶ τὰ νοσήματα, ἐξαιρέτως Ἅγιε, τὰ τῶν βοῶν, τῶν προσκαλουμένων σε, ψυχῆς θερμότητι.

Πάτερ θεόφρον Παρθένιε, ἁγιασμοῦ δωρεάς, καὶ ἰάσεων χάριτας, ἡ ἁγία Κάρα σου, ὡς τοῦ Πνεύματος σκήνωμα, ἀεὶ πηγάζει ἀρωματίζουσα, τοὺς προσιόντας ταύτῃ ἑκάστοτε, καὶ τὰ παθήματα, θεραπεύει πάντοτε, τὰ τῶν βοῶν, καὶ ὑγείαν ἄμισθον, νέμει τοῖς θρέμμασι.

**Δόξα. Ἦχος πλ. β΄.**

Σήμερον λαμπρὰ ἐπέφανε, ἡ νεοφανὴς πανήγυρις, τοῦ Ἱεράρχου Παρθενίου, τὴν Ἐκκλησίαν πυρσεύουσα· δεῦτε οὖν, τῶν Ὀρθοδόξων αἱ χορεῖαι, πνευματικῶς ἑορτάσωμεν, τούτῳ ἐκβοῶντες· χαίροις τῶν πάλαι Ὁσίων μιμητὴς καὶ ὁμότροπος, θεοφιλέσιν ἔργοις, καὶ τῆς δόξης ἰσότιμος· χαίροις ὁ τῶν θαυμάτων δεξάμενος, τὴν χάριν, καὶ πᾶσι παρέ-

χων, εὐεργεσίας δωρεάς· χαίροις τοῦ πιστοῦ σου λαοῦ, προστάτης θερμότατος, καὶ τῶν ἀλόγων ζώων, ἰατρὸς συμπαθής. Ἀλλ᾽ ὦ παμμάκαρ Παρθένιε, ἀδιαλείπτως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Καὶ νῦν. Ὁ αὐτός.

Τίς μὴ μακαρίσει σε Παναγία Παρθένε, τίς μὴ ἀνυμνήσει σου, τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρός, ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτὸς ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι᾽ ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ᾽ ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

## Εἴσοδος. Φῶς ἱλαρόν...
## Τὸ Προκείμενον τῆς ἡμέρας, καὶ τὰ Ἀναγνώσματα.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα

Μνήμη δικαίου μετ᾽ ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν, καὶ θνητός, ὃς εἶδε φρόνησιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δὲ ἐστὶ λίθων πολυτελῶν· οὐκ ἀντιτάσσεται αὐτῇ οὐδὲν πονηρόν· εὔγνωστός ἐστι πᾶσι τοῖς ἐγγίζουσιν αὐτήν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ· καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς, καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ Σοφία κατεσκεύασα βουλὴν καὶ

γνῶσιν καὶ ἔννοιαν ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες, εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ, καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου· οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι, καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε Πνεύματος.

## Παροιμιῶν τὸ Ἀνάγνωσμα.

Στόμα δικαίου ἀποστάζει σοφίαν, γλῶσσα δὲ ἀδίκου ἐξολεῖται. Χείλη ἀνδρῶν δικαίων ἐπίστανται χάριτας, στόμα δὲ ἀσεβῶν καταστρέφεται. Ζυγοὶ δόλιοι, βδέλυγμα ἐνώπιον Κυρίου· στάθμιον δὲ δίκαιον, δεκτὸν αὐτῷ. Οὗ ἐὰν εἰσέλθῃ ὕβρις, ἐκεῖ καὶ ἀτιμία· στόμα δὲ ταπεινῶν μελετᾷ σοφίαν. Τελειότης εὐθέων ὁδηγήσει αὐτούς, καὶ ὑποσκελισμὸς ἀθετούντων προνομεύσει αὐτούς. Οὐκ ὠφελήσει ὑπάρχοντα ἐν ἡμέρᾳ θυμοῦ, δικαιοσύνη δὲ ῥύσεται ἀπὸ θανάτου. Ἀποθανὼν δίκαιος ἔλιπε μετάμελον· πρόχειρος δὲ γίνεται καὶ ἐπίχαρτος ἀσεβῶν ἀπώλεια. Δικαιοσύνη ἀμώμου ὀρθοτομεῖ ὁδούς, ἀσέβεια δὲ περιπίπτει ἀδικίᾳ. Δικαιοσύνη ἀνδρῶν ὀρθῶν ῥύσεται αὐτούς, τῇ δὲ ἀβουλίᾳ ἁλίσκονται παράνομοι. Τελευτήσαντος ἀνδρὸς δικαίου, οὐκ ὄλλυται ἐλπίς· τὸ δὲ καύχημα τῶν ἀσεβῶν ὄλλυται. Δίκαιος ἐκ θήρας ἐκδύνει, ἀντ' αὐτοῦ δὲ παραδίδοται ὁ ἀσεβής. Ἐν στόματι ἀσεβῶν, παγὶς πολίταις, αἴσθησις δὲ δικαίων, εὔοδος. Ἐν ἀγαθοῖς δικαίων κατώρθωται πόλις, καὶ ἐν ἀπωλείᾳ ἀσεβῶν ἀγαλλίαμα. Ἐν εὐλογίᾳ εὐθέων ὑψωθήσεται πόλις· στόματι δὲ

ἀσεβῶν κατασκαφήσεται. Μυκτηρίζει πολίτας ἐνδεὴς φρενῶν, ἀνὴρ δὲ φρόνιμος ἡσυχίαν ἄγει.

## Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι, φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

## Εἰς τὴν Λιτήν.

## Ψάλλομεν Στιχηρὰ Ἰδιόμελα.

### Ἦχος α'.

Εὐφραίνεται ἐνθέως, ὁ σὸς λαὸς Παρθένιε, πάλαι μὲν θεῖον ποιμένα πλουτήσας σε, νῦν δὲ μεσίτην πρὸς Θεόν, ἔχων ἀξιόθεον· καὶ τὴν ἁγίαν σου Κάραν, ὡς κιβωτὸν ἁγιασμοῦ κεκτημένος, ἁγιασμὸν ψυχῆς καὶ σώματος, καὶ ἴασιν καὶ λύτρωσιν, ἐξ αὐτῆς καρποῦται· ἀνεκφοίτητος γὰρ πέλει, ἐκ ταύτης ἡ χάρις τοῦ Πνεύματος, ἐνεργοῦσα τὰ παράδοξα. Ἀλλ' ὦ Πάτερ μακάριε, μὴ παύσῃ παρέχειν ἡμῖν τὴν σὴν βοήθειαν, καὶ ἀσινῆ φυλάττειν, τῶν θρεμμάτων ἡμῶν, τὰς ἀγέλας δεόμεθα.

### Ἦχος β'.

Ἱεραρχῶν καινὸν σεμνολόγημα, τῇ τοῦ βίου σεμνότητι, καὶ εὐθύτητι τρόπων, ἀνεδείχθης, Παρθένιε. Μακάριος εἶ, ὅτι ἐν νόμῳ Κυρίου, ἡμέρας καὶ νυκτὸς ἐμελέτησας, στοιχειωθεὶς ἀγάπῃ θείᾳ· καὶ ὡς φοῖνιξ κατάκαρπος, ἐν ὕδασι τῆς ἐγκρατείας βλαστήσας, τοῖς καρποῖς τῆς πίστεως, τρέφεις ἑκάστοτε, εὐσεβῶν τὴν διάνοιαν.

### Ἦχος γ'.

Ὡς προσφορὰν εὐπρόσδεκτον προσήγαγες, τὰς σὰς ὁσίας πράξεις, τῷ ὑπὲρ ἡμῶν ἐθελουσίως Τυθέντι, Ἱεράρχα Παρθένιε· θεολήπτῳ γὰρ φρονήματι, ὡς ξένος τοῦ κόσμου καὶ πάροικος, λαθὼν πάντας ἐβίωσας· καὶ μέσον κόσμου ἀναστρεφόμενος, οὐρανόφρων ὤφθης, καὶ πλήρης θείας ἐλλάμψεως, πάσης ὑλικῆς συναφείας νεκρωθείς· ὅθεν τὴν κεκρυμμένην ζωήν σου, ὁ τῶν κρυπτῶν γνώστης καὶ Θεὸς δοξάζων, πᾶσι ἐμφανῆ, τὴν σὴν λαμπρότητα πεποίηκε, μετὰ τὸ ἅγιον τέλος σου, Πάτερ ἁγιώτατε. Ἁγίων γὰρ ἰσότιμον, ἀληθῶς σε ἔδειξε, θαυμάτων ἐνεργείαις, καὶ προστάτην ἑτοιμότατον, τοῖς προσιοῦσι τῇ πρεσβείᾳ σου.

### Ἦχος δ'.

Θεοπρεπὴς ὁ βίος σου, θεοφόρε Παρθένιε, ἀρετῶν ἰδέαις κεκοσμημένος, καὶ μακάριον τὸ τέλος σου, ἁγιοπρεπέσι τιμαῖς δοξασθέν· ὅτι ὡς λειμὼν εὐώδης, ἀνοιγεὶς ὁ τάφος σου ὤφθη· εὐωδίαν γὰρ οὐράνιον, ἐπισκιάσει τοῦ Παρακλήτου, πᾶσι διέπνευσεν, ἐμφαίνουσαν ἡμῖν, τὴν σὴν καθαρότητα, δι᾿ ἧς εὐωδία Χριστοῦ κατὰ Παῦλον γέγονας· καὶ ὡς μυροθήκη τῆς χάριτος, ἡ σεβασμία Κάρα σου, τοῖς εὐσεβέσι

δέδοται, δυσωδίαν παθῶν ἐλαύνουσα, καὶ παρέχουσα ἀεί, ἰαμάτων δωρήματα.

### Δόξα. Ἦχος β΄.

Δαβιτικῶς εὐφράνθητι, ἡ Ἐκκλησία τοῦ Θεοῦ, νέαν πανήγυριν ἄγουσα, εἰς περιποίησιν πιστῶν· ὁ γὰρ ἀληθὴς Κυρίου Ἱεράρχης, ὁ ἡγιασμένος Παρθένιος, τῷ τῆς ἀρετῆς στοιχίσας κανόνι, τὰ πάλαι Ἁγίοις ἱστορούμενα, ἀναντίλεκτα δείκνυσιν. Ἐμφραγήτωσαν τοίνυν, τὰ ἀπύλωτα στόματα, τὰ ἀδικίαν λαλήσαντα, κατὰ τῆς θείας γνώσεως· ὅτι Ἰησοῦς Χριστὸς χθὲς καὶ σήμερον, ὁ αὐτὸς καὶ εἰς τοὺς αἰῶνας.

### Καὶ νῦν. Θεοτοκίον.

Τὴν πᾶσαν ἐλπίδα μου εἰς σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην σου.

### Εἰς τὸν στίχον Στιχηρὰ Προσόμοια.

### Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.

Χαίροις ὁ Ἱεράρχης Χριστοῦ, ὁ κοινωνήσας τῆς Ἁγίων λαμπρότητος, δι᾽ ἔργων δικαιοσύνης, καὶ ἐναρέτου ζωῆς, καὶ ἠθῶν ἀμέμπτων τῇ σεμνότητι· ἐντεῦθεν ἀνέλαμψας, ὥσπερ ἄστρον νεόφωτον, ἐσχάτοις χρόνοις, καταυγάζων Παρθένιε, θείᾳ χάριτι, εὐσεβῶν τὴν διάνοιαν· ὅθεν τοῦ ὑπὲρ ἔννοιαν, φωτὸς ἐμφορούμενος, λῦσον παθῶν τὴν ὀμίχλην, ταῖς φωτοφόροις πρεσβείαις σου, διδοὺς ἡμῖν πᾶσιν, εὐφροσύνην καὶ εἰρήνην, καὶ θεῖον ἔλεος.

**Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην....**

Χαίρει ἡ κληρουχία ἡ σή, λαμπρυνομένη τῇ δοθείσῃ σοι χάριτι, σὺν ταύτῃ καὶ ἡ πατρίς σου, ἀγαλλιᾶται πιστῶς, ὡς φυτόν σε θεῖον γεωργήσασα· καὶ ἄμφω τὴν μνήμην σου, ἑορτάζουσαι κράζουσι. Μὴ διαλίπῃς, Ἱεράρχα Παρθένιε, νέμειν πάντοτε, τὴν θερμήν σου ἀντίληψιν, ἅπασι τοῖς προστρέχουσι, τῇ Κάρᾳ σου Ἅγιε, καὶ ὁλοψύχως ζητοῦσι, τὴν σὴν πρεσβείαν πρὸς Κύριον, ὡς ἂν πολυπλόκων, λυτρωθείημεν κινδύνων, καὶ περιστάσεων.

**Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.**

Δρόσος ἐξ οὐρανοῦ θαυμαστῶς, ἡνίκα ἤνοικται ὁ τάφος σου Ἅγιε, ὠράθη κατερχομένη, τὴν σὴν ὁσίαν ζωήν, τοῦ Θεοῦ τῶν ὅλων μεγαλύνοντος, ὀσμὴ δὲ οὐράνιος, ἐνεργείᾳ τοῦ Πνεύματος, διεξεχύθη, ἐπὶ πᾶσαν Παρθένιε, τὴν κωμόπολιν, τοὺς πιστοὺς κατευφραίνουσα. Ὅθεν τὴν πανσεβάσμιον, γεραίροντες Κάραν σου, πάσης λυτρούμεθα βλάβης, καὶ ἐπηρείας τοῦ ὄφεως, Χριστὸν ἀνυμνοῦντες, τὸν ὑστέροις σε τοῖς χρόνοις, λαμπρῶς δοξάσαντα.

**Δόξα. Ἦχος πλ. δ΄.**

Δεῦτε ἅπαντες πιστοί, αἶνον καινὸν προσοίσωμεν, τῷ νέῳ τοῦ Χριστοῦ Ἱεράρχῃ, Παρθενίῳ τῷ τρισμάκαρι· ἁγιοπρεπῶς γὰρ πεπολίτευται, καὶ τὸν ἐν Ἁγίοις ἀναπαυόμενον Θεόν, ἁγιωσύνης ἐθεράπευσε πράξεσι, σωφρόνως καὶ δικαίως διαγαγών, ἧς ἠξίωται ὑπουργίας· ὅθεν ἐν Ἁγίοις γέγονεν ὁ κλῆρος αὐτοῦ, καὶ ἀνακεκαλυμμένως τρυφᾷ τῆς θεώσεως, πρεσβεύων ἀπαύστως, ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

**Καὶ νῦν. Θεοτοκίον.**

Δέσποινα πρόσδεξαι τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

**Νῦν ἀπολύεις, καὶ τὰ Ἀπολυτίκια.**

**Ἦχος δ΄. Ταχὺ προκατάλαβε.**

Ἀμέμπτως ἐβίωσας, ἐν ταπεινώσει πολλῇ, Παρθένιε Ὅσιε, καὶ θεϊκῶν δωρεῶν, ἀξίως μετέσχηκας. Ὅθεν σου τὴν ἁγίαν, προσπτυσσόμενοι Κάραν, λαμβάνομεν θεραπείας, καὶ ψυχῶν σωτηρίαν· διό σε Ἱεράρχα, ὕμνοις γεραίρομεν.

**Ἕτερον. Ἦχος γ΄. Θείας Πίστεως.**

Νέον καύχημα, τῆς Ἐκκλησίας, ὡς τοῦ Πνεύματος, λαμπρὸν δοχεῖον, ἀνεδείχθης Ἱεράρχα Παρθένιε· τῶν ἀρετῶν γὰρ ἐργάτης γενόμενος τῆς δωρεᾶς τῶν Ἁγίων ἠξίωσαι. Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

**Θεοτοκίον.**

Σὲ τὴν μεσιτεύσασαν, τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

**Ἀπόλυσις.**

## ΕΝ ΤΩ ΟΡΘΡΩ

**Τὰ Ἀπολυτίκια ὡς ἐν τῷ Ἑσπερινῷ**

**Μετὰ τὴν α΄. Στιχολογίαν, Κάθισμα.**

**Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.**

Νεόφωτος ἀστήρ, ἀρετῶν δᾳδουχίᾳ, ἐφάνης ἀληθῶς, τῇ Χριστοῦ Ἐκκλησίᾳ, Παρθένιε Πατὴρ ἡμῶν, καὶ πιστοὺς κατεφώτισας, ταῖς λαμπρότησι, τῆς σῆς σεμνῆς πολιτείας· δι᾽ ἧς μέτοχος, τῶν ἀπ᾽ αἰῶνος Ἁγίων, ἐγένου μακάριε.

**Θεοτοκίον.**

Κυήσασα Χριστόν, τὸν Δεσπότην τῶν ὅλων, λυτρούμενον ἡμᾶς, δυναστείας τοῦ πλάνου, τὸν νοῦν μου ἐλευθέρωσον, τῆς ἀπάτης τοῦ δράκοντος, καὶ καταύγασον, φωτί με θείῳ Παρθένε, πορευόμενον, ἐν τῇ ὁμίχλῃ τῆς πλάνης, καὶ σῶσόν με δέομαι.

## Μετὰ τὴν β΄. Στιχολογίαν, Κάθισμα.

## Ἦχος δ΄. Ταχὺ προκατάλαβε.

Ὁσίως διέδραμες, τὴν κεκρυμμένην ζωήν, ἁπάντων ἐπ᾽ ὄψεσιν, ὡς τοῦ Χριστοῦ μαθητής, Παμμάκαρ Παρθένιε· ὅθεν τὰς κεκρυμμένας, τοῦ δολίου ἐνέδρας, ᾔσχυνας παρρησίᾳ, ἀρετῶν συντονίᾳ· διό σε ὁ Δεσπότης, λαμπρῶς ἐθαυμάστωσε.

## Θεοτοκίον.

Ὀρέων ὑπέρτερον, τῶν αἰωνίων Ἁγνή, ὡς ὄρος κατάσκιον, ὡς ὁ Προφήτης φησίν, ἐδείχθης Πανάμωμε· κόσμῳ ἐκ σοῦ γὰρ ὤφθη, σαρκωθεὶς ἀπορρήτως, λύσας ἀρὰν τὴν πάλαι, ὁ Θεὸς τῶν ἁπάντων· ᾧ πρέσβευε Πανάχραντε, ὑπὲρ ἡμῶν δεόμεθα.

## Μετὰ τὸν Πολυέλεον, Κάθισμα.

## Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Μιμητὴς ἀνεδείχθης ὡς ἀληθῶς, τῶν Ἁγίων Πατέρων βίῳ σεμνῷ· αὐτῶν γὰρ ἐζήλωσας, τῆς ἀγάπης τὸ πλήρωμα, τοὺς φιλοθέους τρόπους, τὰ ἤθη τὰ ἄπλαστα, καὶ τὴν ἐπὶ τὰ κρείττονα, ἀνένδοτον ἔφεσιν· ὅθεν σὺν ἐκείνοις, δοξασθεὶς ἐπαξίως, τὴν Κάραν σου δέδωκας, ἰατρεῖον ὡς ἄμισθον, τοῖς σοῖς τέκνοις Παρθένιε, πρεσβεύων ἐκτενῶς τῷ Χριστῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

## Θεοτοκίον.

Θησαυρὸς μυστηρίων πνευματικῶν, καὶ θημὼν χαρισμάτων θεαρχικῶν, πλήρωμα πληρέστατον, τῆς Πανάγνου

ἁγνότητος, Θεοειδὲς ταμεῖον, τοῦ πλούτου τῆς χάριτος, ἑκάστῳ κατ' ἀξίαν, τὰ Πρόσφορα νέμουσα, ὤφθης Θεοτόκε, ἐξ ἁγνῶν σου αἱμάτων, φρικτῶς σωματώσασα, τῶν ἁπάντων τὸν αἴτιον, τὸν Ἀδὰμ διασώζοντα· διὸ τῶν μεγαλείων τῶν σῶν, ἀνυμνοῦμεν τὴν μεγαλοπρέπειαν, καὶ τὴν κλῆσίν σου Κόρη, φωνοῦντες σωζόμεθα.

**Τὸ α' ἀντίφωνον τοῦ δ' ἤχου καὶ τὸ Προκείμενον.**

Οἱ ἱερεῖς σου Κύριε ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσονται.

**Στίχ. Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον...**

**Εὐαγγέλιον τῆς λειτουργίας τοῦ Ἁγ. Νικολάου.**

**Ὁ Ν'. Δόξα. Ταῖς τοῦ Ἱεράρχου...**

**Καὶ νῦν. Ταῖς τῆς Θεοτόκου...**

**Ἰδιόμελον. Ἦχος πλ. β'.**

**Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...**

Πατέρων ἰσότιμε Παρθένιε Ὅσιε, καὶ ἱερὰ προσθήκη, τῷ θρόνῳ τῆς μεγαλωσύνης παρεστώς, μὴ παύσῃ περιέπων, καὶ πάσης βλάβης ρυόμενος, τοὺς ἐτησίοις ἄσμασι, μακαρίζοντας τὴν μνήμην σου.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου...**

**Εἶτα οἱ κανόνες, τῆς Θεοτόκου καὶ τοῦ Ἁγίου.**
**Κανὼν τοῦ Ἁγίου οὗ ἡ ἀκροστιχίς.**

*«Ἄδω Ἱεράρχα σοι ὁ σὸς ἱκέτης. Γερασίμου».*

### Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.

Ἀνατολῆς τῆς θεϊκῆς τὴν ἔλλαμψιν, ὑποδεχθεὶς μυστικῶς, ὥσπερ ἑωσφόρος ἔλαμψες Παρθένιε, ἐν τῇ σκοτίᾳ Ὅσιε, τοῦ παρόντος αἰῶνος, καταπυρσεύων ἑκάστοτε, τοὺς εἰλικρινῶς προσιόντας σοι.

Διαπρεπὴς καὶ πλήρης θείων πράξεων, ὡς τοῦ Χριστοῦ λειτουργός, ἐν ὑστέροις χρόνοις, πέφηνας Παρθένιε, τοῖς πάλαι ἁμιλλώμενος, θεοφόροις Πατράσι, δι᾽ ἀρετῶν τελειότητος· ὅθεν σὺν αὐτοῖς τεθαυμάστωσαι.

Ὡς δωρεῶν τῶν θεϊκῶν θησαύρισμα, ἡ θεία Κάρα σου, τοῖς πιστοῖς ἐδόθη, Ἅγιε Παρθένιε, ἁγιασμὸν παρέχουσα, καὶ ἰάματα πλεῖστα, τοῖς προσιοῦσιν ἐκ πίστεως, καὶ βοῶν τὴν βλάβην διώκουσα.

### Θεοτοκίον.

Ἱεροτεύκτων αἰνιγμάτων πλήρωμα, καὶ πέρας πάσης Γραφῆς, Κεχαριτωμένη, ὤφθης Παντευλόγητε· τὸν γὰρ ἐν νόμῳ πρότερον, καὶ Προφήταις λαλοῦντα, Θεὸν ἀφράστως ἐκύησας, ἐν τῷ καθ᾽ ἡμᾶς ὁμοιώματι.

### Ὠδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.

Ἐνδεδυμένος ἱερῶς, ἱερωσύνης τὴν χλαῖναν, ὥσπερ θεῖος Ἱεράρχης θεόφρον, ἱεράτευσας Χριστῷ, ἀγγελικῶς Παρθένιε, τὴν νοητὴν ἀκτῖνα, τοῦ Παρακλήτου δεχόμενος.

Ῥήμασι θείων ἐντολῶν, καὶ πρακτικαῖς ὑποθήκαις, τοὺς σοὺς ἄρνας καθ᾽ ἑκάστην ἐκτρέφων, ὡς ποιμὴν ἀληθινός,

Παρθένιε, μακάριε, τούτους Χριστῷ προσάγεις, ἔργοις κομῶντας τῆς πίστεως.

Ἄνωθεν Πάτερ ὁ Θεός, βροχὴν λεπτὴν ὑετίζων, κομιδῇ τῶν ἱερῶν σου λειψάνων, πᾶσιν ἔδειξε σαφῶς. Παρθένιε τοῦ βίου σου, τὴν κεκρυμμένην χάριν, δι᾽ ἧς αὐτῷ εὐηρέστησας.

### Θεοτοκίον.

Ρύπων Παρθένε ψυχικῶν, καὶ σαρκικῶν φρονημάτων, καὶ τῶν ἔνδον λογισμῶν τῶν ἀτάκτων, θείᾳ σου ἐπισκοπῇ, κατεύνασον τὸν τάραχον, καὶ κάθαρόν με ὅλον, καὶ τὴν ζωήν μου βελτίωσον.

### Κάθισμα. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.

Ἀκλινῶς τοῖς ἴχνευσιν ἀκολουθήσας, τοῦ Χριστοῦ Παρθένιε, καθηγιάσθης ἱερῶς, ταῖς ἐναρέτοις σου πράξεσι, καὶ τῶν Ἁγίων τῆς δόξης ἠξίωσαι.

### Θεοτοκίον.

Ἀπειράνδρως τέξασα τὸν Φωτοδότην, φωταυγεῖς ἑκάστοτε, φωτοκυῆτορ Μαριάμ, τοὺς ἐν αἰνέσει βοῶντάς σοι· χαῖρε, Παρθένε, φωτὸς οἰκητήριον.

### Ὠδὴ δ΄. Σύ μου ἰσχύς.

Χρῖσμα σεπτόν, ὡς καθαρὸς τὴν διάνοιαν, χρίσει θείᾳ, Πάτερ εἰσδεξάμενος, ἀρχιερεύς, ὤφθης ἱερός, καὶ ἐνθέοις ἔργοις, ἱερωτέραν ἀνέδειξας, στολὴν τὴν ἱεράν σου, ἱερώτατε Πάτερ, ὁλικῶς ἀφορῶν πρὸς τὰ κρείττονα.

Ἀγγελικόν, τρόπον καὶ βίον ἐφάμιλλον, καὶ ἀγάπην, ἔχων ἀνυπόκριτον, ἄκακος πρᾶος καὶ ἱλαρός, ταπεινοφροσύνης, ἐμπρέπων θείοις ὑψώμασιν, ἐδείχθης Ἱεράρχα, ἐν ἐσχάτοις τοῖς χρόνοις, τῶν πιστῶν ἐκπαιδεύων τὸ φρόνημα.

Στίφη πιστῶν, περικυκλοῦσι Παρθένιε, ὥσπερ θεῖον, Πάτερ, ἱλαστήριον, τὴν ἱερὰν Κάραν σου ἀεί, καὶ τῆς σῆς εὐνοίας, τὰς δωρεὰς κομιζόμενοι, φωναῖς χαριστηρίοις, τὸν Δεσπότην ὑμνοῦσι, τὸν λαμπρῶς σε δοξάσαντα Ἅγιε.

**Θεοτοκίον.**

Ὁ οὐρανός, τῶν οὐρανῶν ὑψηλότερος, ἡ ἁγία Κόρη καὶ Ὑπέραγνος, ἡ ἀνατείλασα τοῖς ἐν γῇ, τῆς δικαιοσύνης, μορφῇ βροτείᾳ τὸν Ἥλιον, καταύγασον τὸν νοῦν μου, τῇ ἐν σοὶ θειαυγείᾳ, καὶ πρὸς φῶς με τὸ ἄδυτον ἴθυνον.

**Ὠδὴ ε΄. Ἵνα τί με ἀπώσω;**

Ἱερῶς ἐν ἀδύτοις, Πάτερ προσχωρῶν Ἱεράρχης ὡς ἔνθεος, καὶ χερσὶν ἁγίαις, τὴν θυσίαν προσάγων τὴν ἄμωμον, καὶ τελειοτάτην, τῷ δι' ἡμᾶς Σταυρῷ τυθέντι, ἐδοξάσθης ταῖς θείαις ἐλλάμψεσι.

Ὁμοτρόπως βαδίσας, τοῖς εὐαρεστήσασι Θεῷ τὸ πρότερον, τῆς ζωῆς τὴν τρίβον Ἱεράρχα θεόφρον Παρθένιε, σὺν αὐτοῖς τῆς ἄνω, κατηξιώθης κληρουχίας, θεωρῶν τοῦ Χριστοῦ τὴν λαμπρότητα.

Σωτηρίαν ἐξαίτει, τὴν κατὰ ψυχὴν καὶ σῶμα Παρθένιε, τοῖς προσπτυσσομένοις, τὴν σεπτὴν καὶ σεβάσμιον Κάραν σου, καὶ τῶν βοσκημάτων, καὶ τῶν βοῶν πᾶσαν ἀγέλην, ἐπευλόγει ἡμῶν τῶν τιμώντων σε.

### Θεοτοκίον.

Ὁ συνέχων τὸ σύμπαν, καὶ περικρατῶν ὁρατὰ καὶ ἀόρατα, ἐν ταῖς σαῖς ἀγκάλαις, συνεσχέθη ὡς νήπιον Ἄχραντε, ἀγκαλῶν ἁρπάζων τοῦ βροτοκτόνου τοὺς ἀνθρώπους, ὡς φιλάνθρωπος φύσει καὶ εὔσπλαγχνος.

### Ὠδὴ στ΄. Ἱλάσθητί μοι Σωτήρ.

Σωφρόνως σου τὴν ζωήν, διατελέσας Παρθένιε, τὸ τέλος τὸ ἐφετόν, εὕρηκας μακάριε, καὶ μέτοχος γέγονας, καὶ συγκληρονόμος, τῶν Ἁγίων τῆς λαμπρότητος.

Ἰάματα δαψιλῆ, Πάτερ ἡ Κάρα σου βρύουσα, τῇ μυστικῇ δωρεᾷ, τοῦ Ἁγίου Πνεύματος, ἰᾶται Παρθένιε, τὰ τῶν βοσκημάτων, χαλεπώτατα νοσήματα.

Κοιμήσας πᾶν τῆς σαρκός, κίνημα Πάτερ Παρθένιε, κεκοίμησαι ἱερῶς, τὸν ὕπνον τὸν τίμιον, καὶ Θεῷ ἀνέδραμες, ἄγρυπνος προστάτης, τῶν τιμώντων σε δεικνύμενος.

### Θεοτοκίον.

Ἐκ τῶν αἱμάτων τῶν σῶν, σάρκα λαβὼν ὁ ὑπέρθεος διπλοῦς ὡράθη ἡμῖν, δι᾿ ἄφατον ἔλεος, καὶ ἔσωσεν ἅπαντας τοὺς ὁμολογοῦντας Θεοτόκον σὲ Πανάχραντον.

### Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ ὑπερμάχῳ.

Ὡς Ἱεράρχην τοῦ Σωτῆρος ἐνθεώτατον
Καὶ τῶν Ἁγίων μιμητὴν καὶ ἰσοστάσιον

᾿Ανυμνοῦμέν σε οἱ δοῦλοι σου θεοφόρε.
᾿Αλλ᾿ ὡς πρέσβυς καὶ μεσίτης πρὸς τὸν Κύριον
Καθικέτευε λυτροῦσθαι πάσης θλίψεως
Τοὺς βοῶντάς σοι, χαίροις Πάτερ Παρθένιε.

## ῾Ο Οἶκος.

Ἄνθρωπος ἀγγελόφρων, ἐγκρατείᾳ συντόνῳ, ἐδείχθης ῾Ιεράρχα ἐν κόσμῳ καὶ νῦν σὺν τοῖς ᾿Αγγέλων χοροῖς, τῆς ἰσαγγέλου τιμῆς κατηξίωσαι, πρεσβεύων πρὸς τὸν Κύριον, ὑπὲρ ἡμῶν τῶν σοὶ βοώντων·

χαῖρε ὁ γόνος τῆς Θεσσαλίας
χαῖρε τὸ κλέος τῆς ᾿Εκκλησίας
χαῖρε τῶν ἀρχαίων Πατέρων ὁμότροπε
χαῖρε τῶν ἐνθέων ῾Οσίων ὁμόδοξε
χαῖρε λύχνος ὁ νεόφωτος, ᾿Ορθοδόξων φωτισμὸς
χαῖρε ῾Ιεράρχα ῞Οσιε, ῾Ιερέων στολισμὸς
χαῖρε ὅτι τὰς νόσους τῶν βοῶν διαλύεις
χαῖρε ὅτι ὑγείαν τοῖς βοσκήμασι βλύζεις
χαῖρε καινὸν τῆς χάριτος γνώρισμα
χαῖρε στεῤῥὸν τῆς πίστεως ἔρεισμα
χαῖρε δι᾿ οὗ κατησχύνθη ὁ δράκων
χαῖρε δι᾿ οὗ ἐγκαυχῶμαι κραυγάζων
χαίροις Πάτερ Παρθένιε.

## Συναξάριον.

**Τῇ κα΄. τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ ἐν ῾Αγίοις Πατρὸς ἡμῶν Παρθενίου ᾿Επισκόπου Ραδοβισδίου ῎Αρτης, κοιμηθέντος ἐν Κυρίῳ ἐν ἔτει αψοζ΄. (1777).**

**Στίχ. Βίῳ εὐαγεῖ Παρθένιε ἐμπρέψας**
**Χάριτος πλείστης πρὸς Θεοῦ ἠξιώθης**
**Εἰκάδι Παρθενίοιο κτερέϊξαν ρέθεα πρώτη.**

**Ἕτερον.**

Τῶν πάλαι ἰσότιμος ὤφθης Ἁγίων
Παρθένιε ὅσιε, ταῖς ἀρεταῖς σου.

**Ἕτερον Δίστιχον.**
Ὡς Ἱερομάρτυρι

Τῷ Παρθενίῳ ἐπλάκη διπλοῦν στέφος.
ὡς ἱερεῖ τε καὶ ἀθλητῇ Κυρίου.

Ταῖς τοῦ Ἁγίου Παρθενίου καὶ πάντων τῶν Ἁγίων πρεσβείαις, Χριστὲ ὁ Θεός, ἐλέησον καὶ σῶσον ἡμᾶς. Ἀμήν.

**Ὠδὴ ζ΄. Θεοῦ συγκατάβασιν.**

Τοῖς ὄμβροις τῶν πόνων σου, καταρδευόμενος Πάτερ Ὅσιε, ἐγεώργησας πίστει, εὐκληματοῦσα οἷά περ ἄμπελος, τῆς ἀφθαρσίας τὸν βότρυν τὸν πέπειρον, εὐφραίνοντα τὰς ψυχὰς ἡμῶν Παρθένιε.

Η χάρις τοῦ Πνεύματος, κατασκηνώσασα ἐν τῇ Κάρᾳ σου, ταύτην δείκνυσι πᾶσι θεραπευτήριον ἀκεσώδυνον, ἀποσοβοῦσαν ἑκάστοτε Ὅσιε, τὰς τῶν ἀλόγων κτηνῶν, βλάβας καὶ νόσους δεινάς.

Στολαῖς σεμνυνόμενος, ἱεραρχίας ὡς Ἱεράρχης σεπτός, προσεχώρησας χαίρων, πρὸς τὸ ἐσώτερον καταπέτασμα, τῆς οὐρανίου σκηνῆς ἔνθα πάντοτε, τὰς ὑπὲρ νοῦν τελετάς, Πάτερ προσφέρεις Χριστῷ.

## Θεοτοκίον.

Γενοῦ μοι Πανάμωμε, καταφυγή τε καὶ τεῖχος ἄρρηκτον· ἰδοὺ πάντοθεν Κόρη, ταῖς πυριφλέκτοις βολίσι βάλλει με, ὁ παλαμναῖος ἐχθρὸς πρὸς ἀπώλειαν, ἀλλὰ τῆς τούτου δεινῆς, ῥῦσαι μανίας με.

## Ὠδὴ η΄. Τὸν ἐν ὄρει ἁγίῳ.

Γνώμην φέρων θεόφρονα ἐν πᾶσιν, οὐρανόφρων ἐν γῇ, ἱερομύστης ὤφθης, ἱερουργῶν τὰ ἄρρητα μυστήρια, καὶ Χριστὸν δοξάζων, Παρθένιε παμμάκαρ, ἀνεπιλήπτῳ βίῳ.

Ἐντολῶν τοῦ Θεοῦ τὴν ἐργασίαν, ὑπὲρ πᾶσαν σπουδήν, σπουδαίως προτιμήσας, τιμῆς τῆς ἀνωτάτω κατηξίωσαι, καὶ ἐν τοῖς Ἁγίοις, ὁμοταγὴς ἐγένου, Παρθένιε παμμάκαρ.

Ῥῦσαι πάσης ἀνάγκης τε και βλάβης, ἱκεσίαις ταῖς σαῖς, τὴν ποίμνην σου θεόφρον, τὴν εὐλαβῶς, γεραίρουσαν τὴν μνήμην σου, καὶ καταφιλοῦσαν, πίστει ἀδιστάκτῳ, τὴν ἱερὰν σου Κάραν.

## Θεοτοκίον.

Ἀνωδύνως τεκοῦσα ὑπὲρ λόγον, τὸν τῶν ὅλων Θεόν, ἐν ὕλῃ τῇ βροτείᾳ, καὶ τὴν ἁγνείαν ἄφθορον τηρήσασα, ῥῦσαί με Παρθένε, φθορᾶς τῆς ἁμαρτίας, καὶ ὀδυνῶν παντοίων.

## Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.

Στολίσας τὴν ψυχήν σου ταῖς ἀρεταῖς, ὡς νεκρώσας σαρκὸς τὰ φρονήματα, καὶ τὴν σεπτήν, ἀρχιερωσύνην περι-

βληθείς, ὡς Ἱεράρχης ὅσιος, καὶ τῇ πολιτείᾳ ἀγγελικός, Ἀγγέλων συμπολίτης, Παρθένιε ἐδείχθης, καλῶς τελέσας τὸν ἀγῶνά σου.

Ἰδόντες σου τὰ λείψανα τὰ σεπτά, πλήρη χάριτος θείας Παρθένιε, πίστει θερμῇ, ταῦτα ἀνεκόμισαν εὐλαβῶς, ἀπὸ τοῦ τάφου Ὅσιε, δόξαν ἀναπέμποντες τῷ Θεῷ, τῷ σὲ δεδοξασμένον, ἐν τοῖς ἐσχάτοις χρόνοις, κρίσει δικαίᾳ ἀναδείξαντι.

Μεθέξει ἐπιλάμψεως τριλαμποῦς, ἐν ὑψίστοις θεούμενος Ἅγιε, τοῖς ἐπὶ γῆς, δέδωκας τὴν Κάραν σου τὴν σεπτήν, ὡς κλῆρον ἀναφαίρετον, τῇ κληρονομίᾳ σου ἀληθῶς, διώκουσαν ἀπαύστως, βοῶν τὰς ἀσθενείας, καὶ πᾶσαν βλάβην ἀφανίζουσαν.

Οὐράνιον πολίτευμα ἐσχηκώς, μετὰ τέλος τῶν τῇδε Παρθένιε, ἀεὶ τρυφᾷς, τῆς ἀτελευτήτου Πάτερ ζωῆς· ἀλλὰ μὴ παύσῃ Ὅσιε, σκέπων καὶ φυλάττων πάσης ὀργῆς, τὴν ποίμνην σου θεόφρον, ὁμοῦ σὺν τῇ πατρίδι, καὶ τὴν Ἑλλάδα πᾶσαν πάντοτε.

**Θεοτοκίον.**

Ὑφάνασα τῷ πάντων Δημιουργῷ, ἐξ ἁγνῶν σου αἱμάτων Ὑπέραγνε, τὸ τῆς σαρκός, θεῖον περιβόλαιον ὑπὲρ νοῦν, ἐπένδυσον χιτῶνά με, τὸν τῆς ἀπαθείας δι᾽ ἀρετῆς, τὸν σάκκον τῶν παθῶν μου, ῥηγνύουσα Παρθένε, τῇ ἐνεργείᾳ τῆς σῆς χάριτος.

**Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.**

Θεοπρεπῶς ἐβίωσας, ἐν ἁπλότητι πάσῃ, καὶ ἐγκρατείᾳ Ἅγιε, καὶ πολλῇ ταπεινώσει, καὶ τὸν Θεὸν θεραπεύσας,

ἐναρέτοις σου ἔργοις, ὡς Ἱεράρχης ὅσιος, καὶ πιστὸς οἰκονόμος τῶν ἱερῶν, μυστηρίων σύσκηνος ἀνεδείχθης, Παρθένιε μακάριε, τοῦ χοροῦ τῶν Ἁγίων.

### Ἕτερον. Γυναῖκες ἀκουτίσθητε.

Τῇ δωρεᾷ τοῦ Πνεύματος, ἡ σεβασμία Κάρα σου, δεδοξασμένη ὁρᾶται, Παρθένιε Ἱεράρχα, καὶ ἐνεργοῦσα πάντοτε, τοῖς θαύμασι μακάριε, τὰ χαλεπὰ νοσήματα, τῶν βοσκημάτων ἰᾶται, εἰς αἴνεσιν τοῦ Κυρίου.

### Θεοτοκίον.

Τὴν κραταιὰν πρεσβείαν σου, καὶ μητρικήν σου δέησιν, πρὸς τὸν ἐκ σοῦ γεννηθέντα, ὑπὲρ ἡμῶν Θεοτόκε, καταφυγὴν καὶ δύναμιν, καὶ μέγα ἱλαστήριον, κατέχοντες ῥυόμεθα, ἐπινοιῶν τοῦ Βελίαρ, ὕμνον σου ᾄδοντες θεῖον.

### Εἰς τοὺς Αἴνους.

### Ἱστῶμεν στίχους δ΄. καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια.

### Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὸν μιμητὴν τῶν Ὁσίων καὶ ὁμοιότροπον, τὸν λειτουργὸν Κυρίου, καὶ σεπτὸν ὑπηρέτην, Παρθένιον τὸν θεῖον πάντες πιστοί, συνελθόντες τιμήσωμεν, καὶ πρὸς αὐτὸν ἐκβοήσωμεν ἱερῶς· χαίροις Πάτερ ἱερώτατε.

Τὴν καθαράν βιοτήν σου καὶ ἀκηλίδωτον, ἥνπερ λαβὼν ἐβίους, ἐν κρυπτῷ Ἱεράρχα, ὁρῶν ὁ τῶν κρυφίων γνώστης Χριστός, φανερῶς ἐθαυμάστωσε, καὶ ἐμφανῆ σε ἀστέρα τῇ ἑαυτοῦ, Ἐκκλησίᾳ Πάτερ ἔδειξε.

Ἀπ᾽ οὐρανοῦ σὲ δοξάζων Χριστὸς Παρθένιε, βροχὴν λεπτὴν ὀμβρίζει, ὁπηνίκα ἠνοίγη, ὁ τάφος σου εἰς ἔκπληξιν τῶν πιστῶν, εὐωδία δὲ ἄρρητος, διεξεχύθη εἰς πᾶν τὸ Βελεντζικόν, μαρτυροῦσά σου τὴν εὔκλειαν.

Βελεντζικὸν ἑορτάζει λαμπρῶς τὴν μνήμην σου, καὶ τὴν σεπτήν σου Κάραν, θησαυρὸν κεκτημένον, καλεῖ πρὸς εὐφροσύνην πνευματικήν, τὴν πατρίδα σου, Ἅγιε. Ἀλλ᾽ ἀμφοτέροις καὶ πᾶσι πιστοῖς, ἀεί, δίδου Ἅγιε βοήθειαν.

**Δόξα. Ἦχος πλ. α΄.**

Σήμερον ὁ θεοφόρος Παρθένιος, ὁ ἀληθὴς Χριστοῦ μυσταγωγός, πρὸς μυστικὴν ἑστίασιν, ἡμᾶς συγκαλεῖται· τρυφήσωμεν ἅπαντες, οἱ τῷ πνεύματι πένητες, ἐξ ὧν ἡτοίμασεν ἡμῖν χαρίτων· ἑνὶ ἑκάστῳ γὰρ παρέχει, τῷ καθ᾽ ἑαυτὸν ὑποδείγματι, τὰς ἀφορμὰς πρὸς σωτηρίαν· καὶ πάντας μυσταγωγεῖ, τὴν πρὸς Θεὸν ἀνάβασιν. Ὅθεν τὴν σεβάσμιον αὐτοῦ Κάραν, περιπτυσσόμενοι βοήσωμεν· Ἱεράρχα Παρθένιε, τὰς τῶν θρεμμάτων ἡμῶν ἀγέλας φύλαττε, καὶ σκέπε ἡμᾶς, πάσης ἐναντιότητος.

**Καὶ νῦν. Θεοτοκίον.**

Μακαρίζομέν σε Θεοτόκε Παρθένε, καὶ δοξάζομέν σε οἱ πιστοὶ κατὰ χρέος, τὴν πόλιν τὴν ἄσειστον, τὸ τεῖχος τὸ ἄρρηκτον, τὴν ἀρραγῆ προστασίαν καὶ καταφυγὴν τῶν ψυχῶν ἡμῶν.

**Δοξολογία μεγάλη καὶ ἀπόλυσις.**

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ

**Τὰ τυπικά, οἱ Μακαρισμοί,**
**καὶ ἐκ τοῦ κανόνος τοῦ Ἁγίου ἡ γ' καὶ στ' ᾠδή.**
**Ἀπόστολον καὶ Εὐαγγέλιον τοῦ Ἁγίου Σπυρίδωνος,**
**ἅπερ ζήτει τῇ 12ῃ Δεκεμβρίου.**

**Κοινωνικόν. Εἰς μνημόσυνον αἰώνιον...**

**Μεγαλυνάρια.**

Τῶν Ἀρχιερέων νέος λαμπτήρ, καὶ τῆς Ἐκκλησίας, ἑωσφόρος νεοφανής, ὤφθης Ἱεράρχα, Παρθένιε παμμάκαρ, ἀμέμπτῳ πολιτείᾳ· διὸ τιμῶμεν σε.

Χάριν ἀναβλύζουσα μυστικῶς, ἡ σεπτή σου Κάρα, ἁγιάζει πάντα πιστόν, καὶ τῶν βουκολίων, τὰς νόσους θεραπεύει, τῇ σοὶ δοθείσῃ Πάτερ, δυνάμει ἄνωθεν.

Φύλαττε τὴν κώμην Βελεντζικοῦ, καὶ τὴν σὴν πατρίδα, ἀπὸ πάσης Πάτερ ὀργῆς, καὶ τοῖς προσκυνοῦσι, τὴν Κάραν σου τὴν θείαν, Παρθένιε ἐξαίτει, τὸ θεῖον ἔλεος.

**Δίστιχον.**

Δέξαι Παρθένιε συνθήκην τῶν ὕμνων
Ἣν σοι Γεράσιμος συνέταξε πόθῳ.